### Περὶ Κτητικῶν.

§. σκα΄. Κτητικαὶ δὲ ἀπὸ τῶν πρωτοτύπων παραγόμεναι ὀκτώ. Ἐμὸς, Σὸς, Ἑὸς, Νωΐτερος, Σφωΐτερος. Ἡμέτερος, Ὑμέτερος, Σφέτερος. Αἱ τριγενῶς κλίνονται. Ἐμὸς, ἐμὴ, ἐμόν. Σὸς, σὴ, σόν. Καὶ αἱ μὲν ἀρσενικαὶ, καὶ οὐδέτεραι, κατὰ τὴν Τρίτην κλίνονται κλίσιν· αἱ δὲ θηλυκαὶ, κατὰ τὴν Δευτέραν.

### Περὶ Δεικτικῶν.

§. σκβ΄. Δεικτικαὶ δὲ δύο, οὗτος, ἐκεῖνος· τριγενῶς καὶ αὗται κλινόμεναι οὕτως.

Οὗτος, τούτου, τούτῳ, τοῦτον, ὦ οὗτος.
Τούτω, τούτοιν, ὦ τούτω.
Οὗτοι, τούτων, τούτοις, τούτους, ὦ οὗτοι.
Αὕτη, ταύτης, ταύτῃ, ταύτην, ὦ αὕτη.
Ταύτα, ταύταιν, ὦ ταύτα.
Αὗται, τούτων, ταύταις, ταύτας, ὦ αὗται.
Τοῦτο, τούτου, τούτῳ, τοῦτο, ὦ τοῦτο.
Τούτω, τούτοιν, ὦ τούτω.
Ταῦτα, τούτων, τούτοις, ταῦτα, ὦ ταῦτα.
Ἐκεῖνος, ἐκείνου.
Ἐκείνη, ἐκείνης.
Ἐκεῖνο, ἐκείνου.

### Περὶ Ἀναφορικῶν.

§. σκγ΄. Ἀναφορικὴ δὲ μία, τριγενῶς λεγομένη, ὧδε.

Αὐτὸς, αὐτοῦ, αὐτῷ, αὐτόν.
Αὐτὼ, αὐτοῖν.